*λεμίους ἀπεγνωκότες μᾶλλον διαμαχοῦνται πρὸς τὸν ὕπνον.*

5. *Ἐμβαλὼν δὲ διὰ τῶν ἄκρων εἰς Μακεδονίαν καὶ συντεταγμένους ἰδὼν τοὺς πολεμίους τοῦ Νασικᾶ παρα-*
B *καλοῦντος αὐτὸν εὐθὺς ἐπιχειρεῖν 'εἴγε τὴν σήν' εἶπεν 'ἡλικίαν εἶχον· αἱ δὲ πολλαί με πεῖραι κωλύουσιν ἐκ πορείας πρὸς φάλαγγα συντεταγμένην μάχεσθαι.'*

6. *Νικήσας δὲ τὸν Περσέα καὶ τὰς ἐπινικίους ποιούμενος ἑστιάσεις ἔλεγε τῆς αὐτῆς ἐμπειρίας εἶναι στράτευμα φοβερώτατον πολεμίοις καὶ συμπόσιον ἥδιστον φίλοις παρασχεῖν.*

7. *Τοῦ δὲ Περσέως αἰχμαλώτου γενομένου καὶ παραιτουμένου τὸν θρίαμβον 'ἐπὶ σοί' εἶπε 'τοῦτ' ἐστίν,' ἐξουσίαν διδοὺς αὐτῷ ἑαυτὸν ἀνελεῖν.*

8. *Χρημάτων δ' ἀπείρων εὑρεθέντων αὐτὸς μὲν οὐκ*
C *ἔλαβε, τῷ δὲ γαμβρῷ Τουβέρωνι φιάλην ἀργυρᾶν ὁλκῆς πέντε λιτρῶν ἀριστεῖον ἔδωκε. καὶ τοῦτό φασι πρῶτον εἰς τὸν ⟨τῶν⟩ Αἰλίων οἶκον εἰσελθεῖν κειμήλιον ἀργυροῦν.*

9. *Τεσσάρων δὲ παίδων ἀρρένων αὐτῷ γεγονότων δύο μὲν πρότερον ἐτύγχανεν ἐκδεδωκὼς ἑτέροις θέσθαι·*